γελοίου χαίρειν εἶπε πρὸς τὸ χαίρειν τὸ μήπω γε. Ὠσφροντο.] ἀντὶ τοῦ ᾔσθοντο, εἶπε τὸ ὤσφροντο, ὅτι διʼ οἴνου εἰσὶν αἱ σπονδαί. ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον. διʼ αἰσθήσεως δὲ, ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου. Στιπτοὶ γέροντες.] ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάπτονται. ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι. ἀπὸ τοῦ στίβειν ὅ ἐστι πατεῖν. Πρίνινοι.] στερεοὶ καὶ σκληροί. ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ Ἡσίοδος. πρίνου δὲ γύην. καὶ πάλιν. πρίνον ἐς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν. ἀτεράμονες δὲ σκληροὶ, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρείων ἀτεράμονα λέγεται, ὅτι οὐχ ἁπαλά. Σφεν- A δάμνινοι.] ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆται. ἄλλως. τὸ σφενδάμνινοι, ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ, εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος. ἡ γὰρ σφενδόνη, ἀπὸ καννάβεως γίνεται. Τῶν ἀμπέλων τετμημένων.] οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν, ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων. Κἀς τοὺς τρίβωνας.] Ἀττικὸν τὸ σχῆμα. ἀντὶ τοῦ ἐς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων. Τρία γε ταυτί.] ἔπαιξε παρὰ τὰς σπονδάς. ἐπεὶ οἴνῳ γίνονται αἱ διʼ ὅρκων συνθῆκαι, ἀντὶ δὲ τοῦ εἰπεῖν ἀνάγνωθι, εἶπεν γεῦσαι. B

Αὗται μέν εἰσι πεντέτεις, γεῦσαι λαβών.
Δικ. Αἰβοῖ. Αμ. Τί ἐστιν; Δικ. οὐκ ἀρέσκουσί μ' ὅτι
Ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.
Αμ. Σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.
Δικ. Ὄζουσι χ' αὗται πρέσβεων ἐς τὰς πόλεις.
Ὀξύτατον, ὥσπερ διατριβῆς τῶν συμμάχων.
Αμ. Ἀλλ' αὑταιὶ σπονδαὶ, τριακοντούτιδες
Κατὰ γῆν τε καὶ θάλατταν. Δικ. ὦ Διονύσια,
Αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος,
Καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν.
Κἀν τῷ στόματι λέγουσι, βαῖν' ὅπη θέλεις.
Ταύτας δέχομαι, καὶ σπένδομαι, κἀκπίομαι.
Αμ. Χαίρειν κελεύω πολλὰ τοὺς Ἀχαρνέας.
Δικαι. Ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς,
Ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.
Αμ. Ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.

*Quinque annorum sunt hæc: cape & gusta obsecro.*
*DI. Æba. AM. quid est? DI. mihi non placent: quia redolent*
*Picem hæc, & apparatum quendam nauticum.*
C *AM. Cape, & gusta hæc: annorum nempe sunt decem.*
*DI. Et ista legatos ad vrbes hic olent*
*Acerrimum: quasi sociorum moram.*
*AM. At hæc fœdera triginta annorum sunt: rata*
*Mari ac terra. DI. ô Dionysia nuncias mihi.*
*Hæc ambrosiam & nectar redolent; neque me iubent*
*Nunc commeatum seruare dierum trium:*
D *Sed libere dicunt mihi: i quo lubet.*
*Hæc fœdera accipio, hæc libo, hæc eadem ebibo.*
*AM. Multum valere Acharnenses ego iubeo.*
*DI. At ego iam liberatus è bello & malis,*
*Domum ingressus, agam ruralia Dionysia.*
*AMP. Ego verò Acharnenses fugiam, quantum queo.*

Σχόλια. Ὄζουσι πίττης.] κοινὸν ἐπὶ οἴνου καὶ νεὼς, τὸ πίσσης ὄζειν. ἔστι γὰρ πισσίζων οἶνος. ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων, διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. εἰς τὰς πόλεις δὲ τὰς τῶν συμμάχων. Ὀξύτατον ὥσπερ διατριβῆς.] ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς. ἢ ἀντὶ τοῦ μόναι πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων. ὥστε μένειν αὐτοὺς καὶ μὴ μεθίστασθαι. ἀλλὰ συμμαχεῖν τῇ πόλει. ἄλλως. ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ τῶν οἴνων τὸ ὀξύτατον. Ὦ Διονύσια.] θαυμάζων ταῦτα λέγει. εἴρηται δὲ ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. προσδοκῶν εἰρήνης οὔσης, τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι. ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. Διονύσια δὲ ἑορτὴ Διονύσου ἣν ἦγον Ναυπάκτιοι. Καὶ μὴ 'πιτηρεῖν.] εἴποτε γὰρ ἔξοδος ἐπὶ στρατείαν ἐγένετο, εἰώθεσαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις, ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. σκώπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα, ὡς ἀηδὲς τοῖς βαρυτοῖς εἰρήνης ἐπιθυμοῦσι. Κἀν τῷ στόματι.] ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς. στόμα γοῦν E αὐτοῦ προστίθησιν. ἢ ἐν τῷ ἡμετέρῳ στόματι γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. ἄλλως. λέγουσί φησιν αἱ σπονδαὶ, ἄπιθι ὅπη θέλεις. εἰκότως. ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας, οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται.

Bisetus. Κἀκπίομαι.] παίζων τοῦτο λέγει. ὅτι γὰρ αἱ σπονδαὶ διʼ ὅρκων γινόμεναι οἴνῳ ἐποιοῦντο, τὰς σπονδὰς ὡς οἶνον ἐκπίεσθαι ἔλεξεν. πίομαι δὲ, καὶ πιοῦμαι, μέλλοντος ἀπὸ τοῦ πίω θέματος, ὥς φησιν Εὐστάθιος. τὸ δὲ πίω ταυτὸ τῷ πίνω. F

Σχόλια. Χαίρειν κελεύω.] κατʼ εὐφημισμὸν τὸ χαίρειν κελεύων, τὸν Ἀμφίθεον οἴονταί τινες. ἵνα γραφῇ τὸ κελεύω χωρὶς τοῦ ν. τὸ δὲ ἑξῆς ἐγὼ δὲ πολέμου, τὸν Δικαιόπολιν. Ἄξω κατʼ ἀγρούς.] τὰ Λήναια λεγόμενα. ἔνθεν τὰ Λήναια καὶ ὁ Ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου, διὰ τὸ πλεκτοὺς ἐνταῦθα γεγονέναι. ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ ληνὸν τεθῆναι. Μένανδρος. τραγῳδὸς ἦν ἀγὼν, Διονύσια.

G

ΧΟΡΟΣ ΑΧΑΡΝΕΩΝ.

CHORVS ACHARNENSIVM.

Bisetus. Ὁ τῶν Ἀχαρνέων χορὸς τοὺς Λακεδαιμονίους μισῶν διὰ τοὺς ἀμπελῶνας, καὶ τὰς ἀμπέλους ὑπʼ αὐτῶν δῃωθείσας, καὶ διαφθαρείσας, μεγίστῃ σπουδῇ, καὶ βίᾳ τὸν Ἀμφίθεον διώκει. ὁ δὲ μόγις ἐκφεύγει τὴν διωκόντων ὁρμήν.